# ΠΑΡΑΚΛΗΣΙΣ & ΧΑΙΡΕΤΙΣΜΟΙ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΝΙΚΟΛΑΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΜΥΡΩΝ ΤΗΣ ΛΥΚΙΑΣ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

**Ἀναγιγνώσκεται**

**ἑκάστην Πέμπτην καὶ ἐν ὥρᾳ κινδύνου**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

ΚΑΙ ΜΙΑ

## ΕΥΧΗ ΤΗΣ ΒΑΣΚΑΝΙΑΣ ΑΝΕΚΔΟΤΟΣ

ΕΚΔΟΤΗΣ

ΝΙΚΟΛΑΟΣ Γ. ΡΟΥΣΣΟΣ

Ἀναγνώστης

ΣΥΡΟΣ — 1937

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΝΙΚΟΛΑΟΝ ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΜΥΡΩΝ ΤΗΣ ΛΥΚΙΑΣ ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

### ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ

Μετὰ τὸ Εὐλογητόν. Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος, καὶ τὸ τροπάριον ἦχος δ΄. ὡς, ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοῦ ἱεράρχου τῇ πανσέπτῳ Εἰκόνι, πιστοὶ προσπέσωμεν αὐτῷ ἐκβοῶντες, οἱ ἁμαρτίαις πολλαῖς ἐγκυλινδούμενοι, σπεῦσον ὦ Νικόλαε ἱεράρχα Κυρίου, σαῖς πρὸς τὸν Φιλάνθρωπον ἱεραῖς ἱκεσίαις, παντὸς κινδύνου λύπης καὶ φθορᾶς, καὶ δεινῶν νόσων ἀπάλλαξον ἅπαντας.

Δόξα. Καὶ νῦν Θεοτοκίου. Οὐ σιωπήσομεν. Ὁ Ν. καὶ ὁ κανὼν ἦχος πλ. δ΄. Ἅγιε τοῦ Θεοῦ. Ἁρματηλάτην Φαραώ.

Ταῖς προσευχαῖς σου ἱερὲ Νικόλαε, ἐκδυσωπῶν τὸν Θεόν, τὸ σκοτεινὸν νέφος τὸ τῆς ἀθυμίας μου Παμμάκαρ διασκέδασον, θυμηδίας ὑπάρχων καὶ εὐθυμίας ἀνάπλεως, τῷ Παμβασιλεῖ παριστάμενος.

Ταῖς τῶν παθῶν με τρικυμίαις πάντοθεν περικυκλούμενον, καὶ λογισμῶν ψάλλω τὴν ψυχὴν δονούμενον, καὶ λιμένα εὔδιον, τῶν Χριστοῦ θελημάτων, ταῖς προσευχαῖς σου κυβέρνησον, ὅπως σὲ δοξάζω Νικόλαε.

Δόξα πατρί.

Τῶν Ἀποστόλων καὶ Ὁσίων σύσκηνος ἀποδεικνύμενος καὶ Θεϊκῆς αἴγλης πάντοτε πληρούμενος, τοὺς τὴν σεπτήν σου σήμερον προσκυνοῦντας Εἰκόνα, φωτὸς μετόχους ἀνάδειξον, εὐχαῖς σου Παμμάκαρ Νικόλαε.

Καὶ νῦν.

Σὲ τὴν ἐν σπλάγχνοις δεξαμένην ἄχραντε, τὸ πῦρ τὸ ἄστεκτον, ἐκδυ-

σωπῶ πίστει, τῆς γεέννης ρῦσαι με, καὶ τῆς ἀποκειμένης μου, διὰ πλῆθος πταισμάτων, κολάσεως ἐλευθέρωσον, σοῦ ταῖς εὐπροσδέκτοις δεήσεσι.

Ὠδὴ γ'. Σὺ εἶ τὸ στερέωμα. Ἅγιε τοῦ Θεοῦ.

Ἵνα σὲ δοξάζωμεν καὶ σὲ πρεπόντως γεραίνωμεν, δίδου ἡμῖν Νικόλαε Μάκαρ τὴν εἰρήνην πρεσβείαις σου.

Κόπασον Νικόλαε, ταῖς σαῖς θερμαῖς παρακλήσεσι, τὰς καθ' ἡμῶν ἐπανισταμένας, ἀσθενείας δεόμεθα. Δόξα Πατρί.

Ρῦσαι με Νικόλαε, περικυκλούμενον πάθεσι καὶ πειρασμοῖς καὶ κινδύνοις πλείστοις, ταῖς λιταῖς σου καὶ σῶσον με. Καὶ νῦν.

Ἔχω σε Πανάσπιλε βίου, προστάτην καὶ τοῖχος ἄρρηκτον· διὸ δεινῶν τοῦ ματαίου βίου, οὐ πτοοῦμαι τὴν ἔφοδον.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Νόσοις πλείστοις Νικόλαε καὶ πολλοῖς τοῖς πταίσμασι περιπέπτωκε, πρόφθασόν με ρῦσαι Πάνσεπτε, ταῖς πρὸς τὸν Δεσπότην ἱκεσίαις σου.

Ὁ ἀθώους τυγχάνοντας, νέους τρεῖς θανάτου ἀπαλλαξάμενος σπεῦσον ρῦσαι με Νικόλαε τῆς αἰωνιζούσης κατακρίσεως. Δόξα Πατρί.

Κατακρίσεως ἄξιος, ζῶν ἐν ἀμελείᾳ εἰμὶ ὁ ἄθλιος, ταῖς λιταῖς σου ὦ Νικόλαε, μετανοίας ὅρμῳ με ὁδήγησον. Καὶ νῦν.

Ρυπωθέντα με κάθαρον, καὶ νενεκρωμένον με σὺ ἀνάστησον, Θεοτόκε, ἀειπάρθενε, τὸν νεκροὺς ζωώσαντα κυήσασα.

Ὠδὴ ε'. Ἵνα τί μὲ ἀπώσω. Ἅγιε τοῦ Θεοῦ.

Ἀκλινεῖ διανοίᾳ, πρὸς τὸν Ἐπουράνιον ἀνῆλθες Κύριον, παρ' οὗ καὶ τὴν χάριν τῶν μεγίστων θαυμάτων ἀπείληφας, Νικόλαε Μάκαρ διὸ ἡμᾶς τοὺς σοὺς ἱκέτας, τῶν δεινῶν καὶ τῶν νόσων ἀπάλλαξον

Ἐν τῇ θείᾳ σου Μνήμῃ, Ἱερέων Νικόλαε σύλλογος τέρπεται καὶ Πιστῶν χορεῖαι τῶν θαυμάτων τῶν σῶν ἀπολαύουσαι, ἐν χαρᾷ τρυφῶσι καὶ ὡς εἰκός σε ἀνυμνοῦσι, καὶ προστάτην καλοῦσί σε μέγιστον. Δόξα Πατρί.

Λαμπρυνθεὶς θείᾳ αἴγλῃ, ὤφθη ἡ καρδία σου ὄντως Παράδεισος τῆς ζωῆς τὸ ξύλον κεκτημένη ἐν μέσῳ τὸν Κύριον· ὃν δυσώπει Πάτερ τοῦ Παραδείσου ἀπολαῦσαι, τῆς τρυφῆς καὶ τῆς δόξης τοὺς δούλους σου. Καὶ νῦν.

Ἀνατίθημι κόρη, πάσας ἐπὶ σοὶ τὰς ἐλπίδας τῆς σωτηρίας μου διὸ δυσωπῶ σε, μὴ παρίδης δεινῶς με, ποντούμενον συμφορῶν πελάγει ἀλλὰ τὴν σὴν δίδου μοι χεῖρα ὡς τῷ Πέτρῳ ὁ Υἱός σου καὶ σῶσον με.

Ὠδὴ στ'. Τὴν δέησιν ἐκχέω. Ἅγιε τοῦ Θεοῦ.

Χειμάζει μὲν τῶν κινδύνων ὁ σάλος οὐκ ἰσχύει δὲ βυθίσαι με Μάκαρ.



σὲ γὰρ ἀεὶ Κυβερνήτην πλουτήσας, πρὸς γαληνὸν τὸν λιμένα ἰθύνομαι, καὶ φθάνω μέχρις οὐρανοῦ, διὰ σοῦ Ἱεράρχα Νικόλαε. Ὅσιε τοῦ Θεοῦ.

Ἱλάσθητι τοῖς σοῖς δούλοις Παμμάκαρ καὶ ὑγείας τὴν ἀντίληψιν δίδου ὡς ἀγαθὸς καὶ φιλάδελφος φύσει καὶ τῶν δεινῶν καὶ τῶν θλίψεων λύτρωσαι ταῖς θείαις σου πρὸς τὸν Θεόν, μεσιτείαις, θεόφρων Νικόλαε. Δόξα Πατρί.

Λυτρούμενος ἐκ θανάτου ὡς ὤφθης τοὺς ἀθώους πρίν, ὦ Πάτερ, στρατηλάτας, οὕτω καὶ νῦν περιστάσεως πάσης, ἡμᾶς καὶ νόσων Νικόλαε λυτρῶσαι, πρεσβείαις σου ταῖς ἱεραῖς, ἵνα πόθῳ τιμῶμεν τὴν μνήμην σου. Καὶ νῦν.

Φιλάγαθε νυσταγμῷ βαρούμενον ραθυμίας με, θερμῇ σου ἱκεσίᾳ ἔγειρον νῦν καὶ μὴ δώσῃς ὑπνῶσαι τῆς ἁμαρτίας σὸν δοῦλον εἰς θάνατον, προστάτην γὰρ καὶ ὁδηγόν, τῆς ἐμῆς σε ζωῆς ἐπιγράφομαι.

Ἐπίβλεψον μετ' εὐμενείας, Νικόλαε Μάκαρ, καὶ πᾶσαν θλίψιν λιταῖς σου ἀπέλασον, ἐκ τῶν ψυχῶν ἡμῶν τῶν ἱκετῶν σου.

Ἄχραντε ἡ διὰ λόγον.

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα. Κοντάκιον ἦχος δ.

Ταῖς τῶν θαυμάτων ἀκτῖσι, Νικόλαε, καταφαιδρύνεις ὑφήλιον ἅπασαν καὶ λύεις τὸν ζόφον τῶν θλίψεων καὶ τῶν κινδύνων ἐλαύνεις τὴν ἔφοδον προστάτης ὑπάρχων θερμότατος.

Καὶ εὐθὺς τὸ Προκείμενον ἦχος δ'.

Οἱ Ἱερεῖς Κύριε ἐνδύονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Στίχος. Καυχήσονται ὅσιοι ἐν δόξῃ.
Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου.
Καὶ νῦν . . Ταῖς τῆς Θεοτόκου.

Στίχος. Ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν ἦχος πλ. Β'.
Ὅλην ἀποθέμενοι.

Ἅπαντα τὸν βίον μου ἐν ἀμελείᾳ διάγων, καὶ πρὸ τέλους ἔφθασα, ἄκαρπος ὁ δείλαιος, Ὑπεράγαθε, πονηρῶν πράξεων, ἐπιφέρων μόνον, νῦν φορτία τὰ δυσβάστακτα, ἅπερ Φιλάνθρωπε, σκόρπισον ροπῇ τοῦ ἐλέους σου καὶ δίδου μοι κατάνυξιν καὶ ἐπιστροφὴν τὴν σωτήριον, ταῖς τοῦ Νικολάου πρεσβείαις εὐπροσδέκτοις ὁ Θεός, ὃν εἰς πρεσβείαν προσάγω σοι καὶ τὴν σὲ κυήσασαν.

Τὸ Σῶσον ὁ Θεὸς κτλ. ᾠδὴ ζ' Παῖδες ἑβραίων

Ρύστης πλεόντων ἀνεδείχθης ὦ Νικόλαε καὶ τῶν χηρῶν προστάτης



ΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

ὀρφανῶν τε λιμὴν καὶ πλουτιστὴς πενήτων· διὸ καὶ ἡμᾶς λύτρωσαι ἐκ κινδύνων σαῖς πρεσβείαις.

Ξένα Νικόλαε ἐργάζῃ ἐν θαλάσσῃ μακρὰν καὶ πάσῃ ὑφηλίῳ ταχυδρόμους ἀεὶ καὶ πάσχοντας προφθάνων, καὶ τούτους ἐκλυτρούμενος ἐκ τῶν νόσων καὶ κινδύνων. Δόξα Πατρί.

Νόσων παντοίων καὶ κινδύνων, ἰατρὸς φανεὶς Νικόλαε τρισμάκαρ τῆς ψυχῆς μου διὸ θεράπευσον τὴν νόσον, καὶ εὐρωστίαν δώρησαι. Καὶ νῦν.

Ἔπαρον χεῖράς σου Παρθένε, πρὸς τὸν εὔσπλαγχνον Θεὸν καὶ Βασιλέα καὶ δεινῶν συμφορῶν καὶ νόσων καὶ κινδύνων, τῇ κραταιᾷ πρεσβείᾳ σου ἐξελοῦ τοὺς σοὺς ἱκέτας.

Ὠδὴ η'. Τὸν Βασιλέα. Ἅγιε τοῦ Θεοῦ.

Τοὺς πειρασμῶν νῦν περισχεθέντας τῷ βάθει σοὺς ἱκέτας Νικόλαε σῶσον, δοὺς ἡμῖν τὴν λύσιν αὐτῶν σαῖς ἱκεσίαις. Ἅγιε τοῦ Θεοῦ.

Ὡς ἐν τρυφῇ αὐλιζόμενος Μάκαρ, Οὐρανῶν τε δόξης ἀπολαύων τοὺς σὲ ὑμνοῦντας διάσωζε εὐχαῖς σου. Δόξα Πατρί.

Τῷ ἀπροσίτῳ ἐλλαμφθεὶς φωτὶ Πάτερ, τὰς ψυχὰς τῶν ἐν θλίψει αὐγάζεις, διαλύων πάντα τῶν πειρασμῶν τὸν ζόφον. Καὶ νῦν.

Ἰσχύεις κόρη, τὸν ἐν ἰσχύει τεκοῦσα, εὐσυμπάθητον Σωτῆρα τοῦ Κόσμου, διὸ τῇ θερμῇ σου προστρέχω βοηθείᾳ.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον. Ἅγιε τοῦ Θεοῦ.

Γνωρίζει πᾶσα Κτίσις, Νικόλαε Μάκαρ σῶν ἀρετῶν καὶ θαυμάτων τὸ πέλαγος· διὸ καὶ χαίρει προστάτην σε ὀνομάζουσα.

Νικόλαε Παμμάκαρ, σῶζε ἐκ κινδύνων, τοὺς σοὺς οἰκέτας πιστῶς σὲ δοξάζοντας, ὡς μιμητὴς τοῦ Σωτῆρος ἀξιοθαύμαστος. Δόξα Πατρί.

Τρυφῶν ταῖς οὐρανίαις θείαις λαμπηδόσι, Θεομακάριστε Πάτερ Νικόλαε, τῇ προστασίᾳ σου σῶσον ἡμᾶς καὶ σκέπασον. Καὶ νῦν.

Μαρία Θεοτόκε, τὴν κεκακωμένην, τῇ ἁμαρτίᾳ ψυχήν μου ἀγάθυνον, καὶ ἀγαθῶν αἰωνίων μέτοχον ποίησον.

Τὸ Ἄξιον ἐστὶ καὶ τὰ παρόντα μεγαλυνάρια.

Νικόλαε Μάκαρ πάρεσο νῦν, προστάτης καὶ φύλαξ, καὶ ἐκ βλάβης παντοδαπῆς, ἡμᾶς ῥῦσαι πάντας, ἐν γῇ καὶ ἐν θαλάσσῃ τοὺς σὲ θερμῶς φωνοῦντας καὶ μεγαλύνοντας.

Χαίροις τῶν Πατέρων κλέος στερρόν, καὶ τὸ τῆς Τριάδος ἐνδιαίτημα καθαρῶν τῶν Πιστῶν προστάτης, καὶ καταπονουμένων, βοήθεια καὶ σκέπη, Πάτερ Νικόλαε.

Ἐν νόσοις σὲ ἔχομεν ἰατρόν, ἐν κινδύνοις ῥύσεων, κηδεμόνα ἐν ὀρ-



φανοῖς, ἐν πένησι πλοῦτον, ἐν θαλάσσῃ σωτῆρα καὶ χαρμονὴν ἐν θλίψει, σοφὲ Νικόλαε.

Ὀρφανῶν προστάτην σε καὶ χηρῶν, πεινόντων τροφέα, πενομένων τε πλουτιστήν, αἰχμαλώτων ῥύστην, πλεόντων σε σωτῆρα κεκτήμεθα, Παμμάκαρ σοφὲ Νικόλαε.

Θεοτόκιον

Ἵλεως γενοῦ μοι τῷ ταπεινῷ, ὅτι πλὴν σου ἄλλην οὐ γινώσκω καταφυγήν, ὁ ἐν ἁμαρτίαις παντοίαις πεπλησμένος, ἐλέησόν με μόνη Χριστιανῶν ἡ ἐλπίς.

---

Τρισάγιον, καὶ τὸ τροπάριον ἦχ. δ'. Κανόνα πίστεως
Ὁ Ἱερεὺς μνημονεύει, εἶτα τὸ ἀπολυτίκιον ἦχος Β'.
Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Χάριν εἰληφὼς παρὰ Θεοῦ, πᾶσι χορηγεῖ τὰς ἰάσεις ὑπὸ τὴν σκέπην σου, ἅγιε Νικόλαε τοῖς σὲ προστρέχουσι· φυγαδεύεις δαιμόνων γὰρ ἀνίατα πάθη, πάντας θεραπεύεις δὲ τῇ προστασίᾳ σου. Ὅθεν καὶ ἡμεῖς δυσωποῦμεν, πρέσβευε πρὸς Κύριον πάσης, λυτρωθῆναι βλάβης τοὺς ὑμνοῦντάς σε.

ΠΑΛΑΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΟΙ ΚΔ΄. ΟΙΚΟΙ

## κατ᾽ ἀλφάβητον εἰς τὸν μέγαν καὶ θαυματουργὸν ἱεράρχην τῶν Μυρέων μυροβλύτην ἅγιον

## ΝΙΚΟΛΑΟΝ

---

**Κοντάκιον ἦχος πλ. γ΄. Τῇ ὑπερμάχῳ.**

Τῷ τῶν Μυρέων Ἱεράρχῃ μῦρα βλύζοντι, ὡς τροπαιούχῳ νικητῇ τὰ αἰσθητήρια, ὑπανοίγοντες αὐτῷ τῷ εὐσημαθήτω, ἐκβοήσωμεν ἐφύμνια προσφθέγγοντες, ἐκ παντοίων ἡμᾶς λύτρωσαι κακώσεων, ἵνα κράζομεν : Χαίροις Πάτερ Νικόλαε.

Ἄγγελος οὐρανόφρων, ἐγνωρίσθης ἐν κόσμῳ ζωὴν ἀγγελικὴν βιωτεύσας (ἐκ γ΄) σῶμά σου δὲ τὸ σεπτὸν μῦρα προχέον, καὶ εὐωδία ἀέναον βλύζον, ἐξιστᾷ τοὺς πάντας, καὶ πείθει τοῦ βοᾶν σοι ταῦτα: Χαῖρε τὸ νῖκος τῆς εὐσεβείας, χαῖρε τὸ κράτος τῆς ἐκκλησίας, χαῖρε στερρὸν τῆς πίστεως ἔρεισμα, χαῖρε στιλπνὸν τῶν Μυρέων καύχημα, χαῖρε ὕψος θείας γνώσεως δυσερμήνευτον πολλοῖς χαῖρε βάθος ταπεινώσεως δυσαντίβλεπτον βροτοῖς, χαῖρε πηγάζων πιστοῖς ἰάσεις ἑκάστοτε, χαῖρε θεῖον ζῆλον ἐν καρδίᾳ φέρων, χαῖρε ὁ εὐωδίαν ἐκ τοῦ οἴκου πνέων, χαῖρε λαμπτὴρ εὐσεβοῦς ἀληθείας, χαῖρε σφραγὶς ὀρθοδόξου λατρείας.

Χαίροις Πάτερ Νικόλαε.

Βλέπουσα ἡ Μυρέων, τὸ παράδοξον θαῦμα, τὰ μύρα τοῦ σεπτοῦ σου λειψάνου, σὺν πόθῳ τὴν πολλήν σου χάριν, καὶ ἰάσεων προχοήν, γεραίρει πρὸς Θεὸν βοῶσα. Ἀλληλούϊα

Γνωστικῶς συνεκράθης ἐκ ψυχῆς μυρορρόα Χριστῷ νοητῷ τῷ ὄντως μύρῳ, καὶ ταῖς τούτου ἀεὶ συνὼν εὐωδίαις θείαις καὶ διαδόσεσι, μύρον κοινὸν ἀνέβλυσας· διό σοι ἐκβοῶμεν πόθῳ. Χαῖρε ἡ δόξα τῶν ἱερέων, χαῖρε τὸ κλέος ἀρχιερέων, χαῖρε τῆς Τριάδος οἶκος ὁ ἔμψυχος, χαῖρε ἁγίων ἀγγέλων ὁ σύσκηνος· χαῖρε πρέσβυς ὁ θερμότατος εἰσακούων τοὺς πιστούς, χαῖρε βέλος τὸ ὀξύτατον ἐκδιώκον τοὺς ἐχθρούς, χαῖρε λύχνε διακρίσεως ἀπαστράπτων ἐμφανῶς, χαῖρε ἄστρον τὸ ἀνέσπερον καταυγάζον τηλαυγῶς, χαῖρε καρπῶν τοῦ Πνεύματος ἔμπλεως, χαῖρε πασῶν χαρίτων ἀνάμεστος, χαῖρε τῶν ἐν θαλάσσῃ ὁδηγὸς καὶ προστάτης, χαῖρε τῶν ἐν πελάγει ἀπλανὴς κυβερνήτης. Χαίροις Πάτερ Νικόλαε.

Διαπτὰς μάκαρ ἐν λιμῶνι, τῶν τοῦ πνεύματος λόγων· τῷ τρόπῳ



φιλοπόνου μελίσσης, καὶ ἐκ τούτων ἁπάντων ἄνθη ἐδρέψω Νικόλαε ἡδύπνοα, σκευάσας ἐν καρδίᾳ σου τὸ θεῖον μύρον κράζων Ἀλληλούϊα.

Ἔχοντες τὸν Ναόν σου τὸν πανίερον τοῦτον ἀκένωτον πηγὴν ἰαμάτων προστρέχομεν εὐλαβῶς καὶ τὴν χάριν ἀπαντλοῦντες δαψιλῶς, βοῶμεν εὐχαρίστως οὕτω· χαῖρε κρατὴρ μανευώδους μύρου· χαῖρε πηγὴ μυριπνόου ρείθρου· χαῖρε μυριοδόχον ἀγγεῖον τοῦ πνεύματος· χαῖρε μυροθήκη εὐώδης τῆς χάριτος· χαῖρε μῦρον πολυσύνθετον ἐκ πασῶν τῶν ἀρετῶν· χαῖρε φιάλη ἀρώματος γέμουσα μυρεψικῶν· χαῖρε ὁ μύρου θείου τὴν πηγὴν πλουτήσας· χαῖρε ὁ ξένον ἀνθρώποις κεράσας· χαῖρε καρπῶν τοῦ πνεύματος ἔμπλεος· χαῖρε πασῶν χαρίτων ἀνάμεστος· χαῖρε Χριστοῦ τὸ θεῖον ὀσφράδιον· χαῖρε πιστῶν τὸ ξένον λουτήριον.

Χαίροις Πάτερ Νικόλαε.

Ζάλην πᾶσαν τοῦ κόσμου ἐκφυγὼν παιδιόθεν τῷ νόμῳ τοῦ Κυρίου ἀεὶ μελετῶν ἡμέρας καὶ νυκτὸς ἐτέθης φωτοειδὴς λυχνία ἀπαστράπτων ἀκτῖνας καὶ πλήθη θαυμάτων ἔπεισας τὸ ποίμνιον Μυρέων βοᾷ τῷ Κτίστῃ. Ἀλληλούϊα.

Ἡ ὀσμὴ σῶν λειψάνων φρέαρ ὕδατος ὤφθη, ποτίζων μῦρον ἀθανασίας καὶ τῶν θείων μύρων ἡ ροὴ μυρεψικὴν παντοίων ὀσμὴν πηγάζοντα γνωρίζεται τοῖς σοὶ βοῶσιν ἐκ ψυχῆς τοιαῦτα· χαῖρε ποιμὴν λογικῶν προβάτων· χαῖρε λιμὴν τῶν θαλάσσῃ πλεόντων· χαῖρε ἀθώους θανάτου ρυσάμενος· χαῖρε ἀπίστου ἐκ πλάνης σωσάμενος· χαῖρε εὔοσμον ἀλάβαστρον ἰατρεῖον τῶν ψυχῶν· χαῖρε ἔλαιον χρηστότητος ἱλαρῦνον νοῦν ἡμῶν· χαῖρε τῶν θλιβομένων παρηγόρημα θεῖον· χαῖρε τῶν λυπουμένων παραμύθιον πέλων· χαῖρε ὅτι ἐθεράπευσας τοὺς νοσοῦντας πολλαπλῶς· χαῖρε ὅτι ἐμεσιτεύσας ἁμαρτάνουσι πικνῶς· χαῖρε δι᾽ οὗ ἐδοξάσθη ὁ Κτίστης· χαῖρε δι᾽ οὗ χαίρει σύμπασα κτίσις.

Χαίροις Πάτερ Νικόλαε.

Θαῦμα μέγα ὁρᾶται, πῶς ἡ ἄνεμος λάρναξ, τοῦ Θείου καὶ σεπτοῦ σου λειψάνου μύρων πηγὰς ἔβλυσεν ἰάματα νοσοῦσι παρασχοῦσα χάριτι τοῦ σὲ μύρῳ νοητῷ χρίσαντος ὡς ἱεράρχην ἄξιον αὐτῷ βοῶντες. Ἀλληλούϊα.

Ἴδιον οὐκ ἐκτήσω ἐπὶ γῆς θεορρῆμον, Χριστὸν δὲ μόνον ἀεὶ ἀναπνέων, ἐν αὐτῷ ζῶν, καὶ πρὸς αὐτὸν ἀφορῶν ἀκλινῶς· τοῦτον ἐκέκτησο φῶς καὶ ἔρωτα, διό σοι προσφωνοῦμεν πόθῳ. Χαῖρε ὁ τῆς Ἀρείου πλάνης ἔλεγχος, χαῖρε ὀρθοδόξου λαοῦ ὑπέρμαχος· χαῖρε ἀρχιερέων ἀγλάϊσμα ἔξοχον· χαῖρε τῶν κακοδόξων φυγάδευμα εὔστοχον· χαῖρε λίαν συμπαθέστατε καὶ φιλόπτωχε ποιμήν, χαῖρε ἄγαν εὐμενέστατε καὶ γαλήνιε λιμὴν χαῖρε ὃν ἀνυμνοῦσιν ἐν τοῖς πέρασι κόσμου· χαῖρε ὅτι ἀντλοῦσι τοῦ σοῦ μύρου εὐόσμου· χαῖρε κανὼν τῆς πίστεως θεόδεκτος· χαῖρε εἰκὼν πραό-

τητος πανάριστος· χαῖρε ὀρθῆς πολιτείας ὁ γνώμων· χαῖρε σοφῆς προμηθείας νοήμων. Χαίροις Πάτερ Νικόλαε.

Κήρυκες τῶν πολλῶν σου, γεγονότες θαυμάτων Νικόλαε ἐδείχθησαν οἱ τρεῖς στρατηλάται οὓς ἐρρύσω ἐμφάνία σου φρικτῇ παρανόμου σφαγῆς. Ἀβλάβου ἐλέγξας φιλιχρήματον· οἱ καὶ σωθέντες χάριτι τῷ θαυμαστῷ Θεῷ ἐβόων. Ἀλληλούϊα.

Λάμψας ἐν τῇ Μυρέων θεοσδότῳ καθέδρᾳ ἐδίωξας τῆς πλάνης τὸ σκότος· τοῖς γὰρ λόγοις νουθετῶν ἅπαντας λύμης Ἀρείου τοῦ δεινοῦ ἔσωσας· διόπερ οἱ ρυσθέντες ἐβόων σοι σοφὲ τοιαῦτα· χαῖρε σάλπιγξ ἁγία τὸν Σωτῆρα κηρύξας· χαῖρε σκηνώματα θεῖα παραδείσου οἰκήσας· χαῖρε ἕνεκα μύρου τοῦ θείου σώματος· χαίρε ἄθεον λύρον ἐλέγξας τοῦ σκώμματος· χαῖρε ἄμπελε κυπρίζουσα τῶν ἀνθέων τὰς πηγάς· χαῖρε σύμβολον λαμπρότητος τῆς ἐνθέου προσφορᾶς· χαῖρε χαρᾶς πληρῶν τοὺς προστρέχοντας· χαῖρε δωρεὰν ἰώμενος ἅπαντας· χαῖρε ροὴ πανοβλίου λύσεως· χαῖρε ὀσμὴ τῆς διττῆς ὀσφρύσεως· χαῖρε δι' οὗ θεραπεύονται νόσοι· χαῖρε δι' οὗ ἐκδιώκονται πάθη. Χαίροις Πάτερ Νικόλαε.

Μύρων ἐξεκενώθη τῇ ψυχῇ σου ἀφθόνως καυθὲν τοῦ Παρακλήτου τῇ θέρμῃ· κῆπον γὰρ ἀσματικῶς τὸ σὸν πνεύσας νότος, ὁ θερμὸς Χριστοῦ πόθος, σοῦ μύρα πᾶσιν ἀνέβλυσε Νικόλαε, Χριστῷ βοῶσιν. Ἀλληλούϊα.

Νέος Μάκαρ ἐφάνης Ἀβραὰμ τῷ Σωτῆρι τὸν νοῦν ὡς Ἰσαὰκ θυσιάσας· ἀναιμάκτους αὐτῷ λατρείας καθαρῶς ἀνενέγκας, ἀνθ' ὧν σοὶ προσφωνοῦμεν ταῦτα· χαῖρε τὸ ἄνθος τῆς εὐσεβείας· χαῖρε τὸ νῖκος τῆς Ἐκκλησίας· χαῖρε χειμαζομένων ὁ ἀχείμαστος ὅρμος· χαῖρε τῶν ἀπορρήτων ἀγαθῶν κληρονόμος· χαῖρε ὅτι σοῦ τὸ λείψανον βρύει μύρα δαψιλῶς· χαῖρε ὅτι σοῦ τὸ τέμενος, νέμει χάριν πολλαπλῶς· χαῖρε ἡμῖν χαρίζων χαρίτων τὸ πέλαγος· χαῖρε πᾶσι ποτίζων σοῦ μύρου τὸ ἔλεος· χαῖρε τροφὴ πεινώντων ἐν πνεύματι· χαῖρε τρυφὴ πλουτούντων ἐν χάριτι· χαῖρε λαμπρὰ καθέδρα αἰσθήσεων· χαῖρε κλεινὸν πυξίον τοῦ πνεύματος. Χαίροις Πάτερ Νικόλαε.

Ξενηκούστων θαυμάτων αἰτουργὸς σὺ ἐγένου καὶ ζῶν καὶ μετὰ πότμον τρισμάκαρ· ἐν θαλάσσῃ γὰρ καὶ χέρσῳ φθάνεις· ὀξέως τοῖς καλουσί σε, καὶ λυτρῶσαι θανάτου πικροῦ ἅγιε, Θεῷ βοῶσιν. Ἀλληλούϊα.

Ὅλος ὢν ἐν ταῖς ἄνω καὶ ἡμῖν πάλιν κάτω συνών, Νικόλαε ἱεράρχα, θαῦμα πᾶσαν ἀκοὴν καὶ διάνοιαν ἐκπλήττων, ἡμεῖς δὲ τοῖς θαυμασίοις ἐκπληττόμενοι βοῶμεν, χαῖρε σοφίας Θεοῦ ὁ πλήρης· χαῖρε προνοίας αὐτοῦ ὁ μύστης· χαῖρε ρήτωρ θεοδίδακτε πρὸς Χριστοῦ ἐκδιδαχθείς· χαῖρε ρειθρατῶν ἰάσεων ὁ παρέχων τοῖς πιστοῖς· χαῖρε ὄχημα τοῦ πνεύματος χάριν νέμων τοῖς πιστοῖς· χαῖρε οἴκημα πα-



νάγιον καὶ ἀγνείας θησαυρός· χαῖρε τῆς σμυρναλόης τὸ ἀμβρόσιον πόμα· χαῖρε κηρομαστίχης τὸ ἡδύπνοον κρᾶμα· χαῖρε πλουτῶν τὸ κέρας τοῦ χρίσματος· χαῖρε αὐχῶν τὸ μύρον τοῦ Πνεύματος· χαῖρε αἱρετιζόντων καθαιρέτης ὁ μέγας χαῖρε τῶν ὀρθοδόξων ὁ προστάτης καὶ γίγας. Χαίροις Πάτερ Νικόλαε.

Πᾶσαν χάριν ἐδέξω, δαψιλῶς ἱεράρχα, ἐν οὐρανοῖς καὶ γὰρ τὸ πολίτευμα ἔσχες διὸ ἐκτελεῖς τὰ τεράστια ἐν πᾶσι· τὸν ἀπρόσιτον γὰρ ὡς Θεὸν γεγονένα· προσιτὸν ἄνθρωπον, εἰς κόσμου σωτηρίαν ἐδίδαξας μέλπειν. Ἀλληλούϊα

Ρήτορας πολυστρόφους ὡς ἰχθύας ἀφώνους, ἀπέδικας σοφὲ πνεύματος τῇ δυνάμει· ὁμούσιον γὰρ τῷ Πατρὶ τὸν Υἱὸν ἐκήρυξας, καὶ ἄσματα τῆς νίκης σου παρ' ἡμῶν ἀκούεις· Χαῖρε λαμπρὸν εὐδρομούντων κλέος· χαῖρε στερρὸν κλονούμενον σθένος χαῖρε τῆς Λυκίας βλαστὸς ὁ εὐθαλέστατος· χαῖρε Εὐαγγελίου καρπὸς ὁ ἀμάραντος· χαῖρε μύρα εὐωδέστατα ὁ πηγάζων τοῖς πιστοῖς· χαῖρε ρεῖθρα τῶν ἰάσεων ὁ προχέων τοῖς λαοῖς ὁ ἐκτεφρώσας τοὺς βωμοὺς τῶν εἰδώλων, χαῖρε ὁ ἐκνευρίσας τὴν ὀφρὺν τῶν δαιμόνων· χαῖρε ὁ ἀνατέλλων τῶν θαυμάτων ἀκτῖνας, χαῖρε ὁ ἀνατέλλων τῶν δαιμόνων μανίας· χαῖρε ὀσμὴ τῆς Χριστοῦ εὐωδίας, χαῖρε τρυφὴ τῆς πιστῶν εὐτυχίας. Χαίροις Πάτερ Νικόλαε.

Σῶσον πάντας τοὺς πόθῳ τῷ πανσέπτῳ ναῷ σου σπροστρέχοντας Νικόλαε τρισμάκαρ· καὶ παντοίας βλάβης καὶ δεινῶν συμφορῶν λῦσαι παρρησίαν μεγίστην ὡς ἔχουν πρὸς Χριστὸν σώζειν ἑκάστοτε τοὺς ἐκβοῶντας Ἀλληλούϊα.

Τεῖχος ὀρθοδοξίας, κεκτημένος σε πάντες ἐκτρέπομεν κοκοδόξων πλεκτάνας, τὸν γὰρ Σωτῆρα καμάτοις ἐθεράπευσας, καὶ ἔργοις σου ἐδόξασας καὶ ἀντεδοξάσθης παρ' αὐτοῦ· ὅθεν εὐλαβῶν σοὶ βοῶμεν. Χαῖρε ὁ πῦργος τῆς εὐσεβείας χαῖρε ἡ πύλη τῆς σωτηρίας· χαῖρε ἀρχιερεῦ καὶ μιμητὰ τοῦ Δεσπότου, χαῖρε ὁ κρυφὸς ἐλεήμων καὶ μύστη;, χαῖρε ἡμῖν χαρίζων σῶν χωρισμάτων πελάγη, χαῖρε ἄγγελε ἐπίγειε τοῦ σωτῆρος Ἰησοῦ, χαῖρε ἄνθρωπε οὐράνιε βασιλείας τοῦ Θεοῦ· χαῖρε σαρκὸς μυρίζουσα ἴασι, χαῖρε ψυχῶν εὐώδης ἀντίληψις· χαῖρε ἡ λύρα τῆς Χριστοῦ βασιλείας, χαῖρε ἡ μοῦσα τῆς αὐτοῦ ἐκκλησίας. Χαίροις Πάτερ Νικόλαε.

Ὕμνος ἅπας ἡττᾶται συνακολουθεῖν θέλω τῷ πλήθει τῶν πολλῶν σου θαυμάτων· ἐγκωμίων πληθὺν καὶ γαρ ἂν προσάξωμεν σοὶ Νικόλαε, οὐδὲν τελοῦμεν ἄξιον, εἰς ἀμοιβὴν χαρίτων σου ἀλλ' οὖν βοῶμέν σοι. Ἀλληλούια.

Φωτοπάροχον χάριν τοῖς ἐν σκότει τοῦ βίου αὐγάζοντα σὲ ἔγνωμεν πάτερ ὁδηγοῦντα πρὸς σωτηρίας ἀτραποὺς καὶ πρὸς γνῶσιν ἀληθῆ ἅπαν·

τας καὶ τῷ φωτὶ προσάγων τῷ Χριστῷ, διό σοι βοῶμεν· Χαῖρε ἀστὴρ νοητοῦ ἡλίου· χαῖρε φωστὴρ τοῦ αἰσθητοῦ βίου· χαῖρε βασιλείας τῆς ἄνω συμμέτοχε· χαῖρε κοινονὲ τῆς θείας λαμπρότητος· χαῖρε ἔσοπτρον ἐμφάσεων καθαρῶν χωρητικόν, χαῖρε ἄξιον θησαύρισμα τῶν Χριστοῦ μακαρισμῶν· χαῖρε τῶν Θοὶ προσφευγόντων ἀσφαλὲς φυλακτήριον· Χαῖρε τῶν σοὶ προσιόντων ταχυσὸν παραμύθιον· χαῖρε πλᾶτος ἁγιότητος ἀρετῶν ἁγίων, χαῖρε τεῖχος τὸ ἀπόρθητον ἐκλεκτὸν καὶ θεῖον· χαῖρε λαμπρὸν τοῦ Δεσπότου τέμενος· χαῖρε σεπτὸν τῆς πίστεως ἥδυσμα. Χαίροις Πάτερ Νικ.

Χάριν σοι δέδωκε Πάτερ, ὁ πάντων ἀνθρώπων ποιμὴν καὶ Δεσπότης τοῦ κόσμου, τοῦ προΐστασθαι θερμὸς ἀντιλήπτωρ, πάντων τῶν προσιόντων σοι μετὰ πόθου καὶ βοώντων τῷ Κυρίῳ. Ἀλληλούια.

Ψάλλοντές σου τοὺς ὕμνους, ἀνυμνοῦμέν σε πόθῳ, ὡς ἄνθρωπον θεῖον τοῦ Δεσπότου, ἐν τῇ σῇ γὰρ καρδία καὶ τῷ ἐνοικήσας, ὁ Κύριος ἡγίασεν ἐδόξασε ἐδίδαξε βοᾶν σοι πόθῳ· Χαῖρε πατόρ ὀρφανῶν καὶ ρῦστα, χαῖρε δοῦλε Κυρίου καὶ μύστα χαῖρε ποιμὴν προβάτων τῆς χάριτος· χαῖρε λιμὴν πλεόντων ἀχείμαστος χαῖρε τέλειον δώρημα παρὰ Κυρίου σου λαβών, χαῖρε καύχημα σεβάσμιον ἱερέων εὐλαβῶν, χαῖρε ἀστὴρ τῶν ἐν θαλάσσῃ πλεόντων· χαῖρε φωστὴρ τῶν ἐν σκότει κειμένων, χαῖρε πτωχοὺς διαθρέψας ἐν χρήμασι· χαῖρε αὐχμοὺς καὶ λιμοὺς διαλύσας ἐν χάριτι· χαῖρε σοφὲ πρὸς Θεὸν παρηγορία· χαῖρε ψυχῆς τῆς ἐμῆς θυμηθείας.

Χαίροις Πάτερ Νικόλαε.

Ὢ τρισόλβιε Πάτερ ὁ λαμπρὸς μὲν ἐν πᾶσι Νικόλαε ἐν Μύροις δὲ μᾶλλον, δυσωδίαν πᾶσαν τῶν παθῶν, κυχῶν, τε καὶ σωμάτων ἡμῶν, ἀπόσμηξον καὶ εὐωδίας πλήρωσον τῶν μύρων σου τοὺς ἐκβοῶντας.

Ἀλληλούια.

Κοντάκιον ἕτερον ἦχος πλ. δ'.

Ὡς ἀντιλήπτωρ καὶ θερμὸς φρουρὸς Νικόλαε, καὶ προφθάνει βοηθὸς ἐν περιστάσεσι, διὸ ᾄσμασιν ἡ ποίμνη σου ἱεράρχα ὑψημουμέν σε οἱ πιστοὶ κμὶ ἐπιγράφομεν· τῆς μονῆς σου ὡς προστάτην καὶ ὑπέρμαχον ἀνακράζοντές σοι. Χαίροις Πάτερ Νικόλαε.



# ΕΥΧΗ ΒΑΣΚΑΝΙΑΣ

### Τοῦ Κυρίου δεηθῶμεν,

Δέσποτα Κύριε Παντοκράτορ, Ἅγιε Βασιλεῦ, ὁ παιδεύων καὶ μὴ θανατῶν, ὁ ὑποστηρίζων τοὺς καταπίπτοντας καὶ Θεὸς πάσης παρακλήσεως· ὁ μὴ βουλόμενος εἶναι τὸν ἄνθρωπον νωθρὸν καὶ σκυθρωπὸν ἀλλ' ἱλαρόν, αὐτὸς καὶ τὸν δοῦλον σου (δεῖνα) τὸν ἐν ἀσθενείᾳ περιπεσόντα καὶ ἀθυμίᾳ πάσῃ γενόμενον ἀνάστησον οἴκτειρον καὶ μὴ παρίδῃς αὐτόν· σβέσον τὸν πυρετόν, πράϋνον τὸ ἄλγος καὶ ἀπέλασον τὴν ἀθυμίαν, ὁ τὴν πενθερὰν τοῦ Πέτρου πυρέσσουσαν καὶ δεινῶς πάσχουσαν λυτρωσάμενος, αὐτός, ἀθάνατε Βασιλεῦ, πάρεσο καὶ ἐπὶ τὸν δοῦλόν σου (δεῖνα), πράϋνον τὸ ἄλγος καὶ τὴν νόσον τοῦ σώματος, ὁ τὸν κορυφαῖον Ἀπόστολόν σου Πέτρον, δι' Ἀγγέλων ἐξαγαγὼν τῶν δεσμῶν τῆς φθορᾶς, ὁ τὸν κήρυκα τῆς ἀληθείας Παῦλον τὸν ἀπόστολον ρυσάμενος ἐκ τῆς τοῦ Νέρωνος πανουργίας αὐτὸς καὶ τὸν δοῦλόν σου (δεῖνα) τῆς συνεχούσης ὀδύνης ἀπάλλαξον ὁ τὸν ἐπιστήθιον φίλον σου ἠγαπημένον Ἰωάννην τὸν Θεολόγον ρυσάμενος ἐκ τῆς ἐν Πάτμῳ ἐξορίας· ὁ τὸν ταπεινόφρονα Νῶε ἐκ τοῦ φρικτοῦ καὶ πανωλεθρίου κατακλυσμοῦ διασώσας, ὁ τὸν δικαιότατον καὶ ξενοδόχον Ἀβραὰμ ρυσάμενος ἐκ πάσης θλίψεως καὶ ὀδύνης· ὁ τὸν μυρίαθλον Ἰὼβ ἐκ τῆς κοπρίας ἀναστήσας· αὐτὸς ἀνάστησον καὶ τὸν δοῦλόν σου (δεῖνα) ἐκ τῆς περιεχούσης αὐτὸν σωματικῆς ἀσθενείας ὁ τὸν δικαιότατον καὶ νομοδότην Μωϋσῆν καλέσας ὅπως λυτρώσῃ τὸν Ἰσραὴλ ἐκ τῆς κακίστης καὶ πονηρᾶς δουλείας τοῦ Φαραὼ αὐτὸς καὶ τὸν δοῦλον σου (δεῖνα) ἐλευθέρωσον, σβέσον τὸν πυρετόν, πράϋνον τὸ ἄλγος καὶ πᾶσαν ἀσθένειαν πονηρὰν ἐκδίωξον ἀπ' αὐτοῦ καὶ ἔγειρον αὐτὸν ἐκ κλίνης ὀδυνηρᾶς καὶ ἐκ στρωμνῆς κακώσεως· ὁ τὸν Ἰακὼβ ἐκ τῆς ἐκδικήσεως τοῦ ἀδελφοῦ του Ἠσαῦ διασώσας ὁ τὸν τυφλὸν ὀμματώσας καὶ τὸ φῶς αὐτῷ χαρισάμενος ὁ τὸν Ἰωσὴφ Πάγκαλον ἐξ ἀδελφοκτόνων καὶ πονηρῶν σχεδίων διασώσας ὁ τὸν πάνσοφον καὶ θαυμαστὸν προφήτην Δαβὶδ ἐκ χειρῶν Σαοὺλ καὶ Γολιὰθ διαφυλάξας· αὐτὸς καὶ τὸν δοῦλόν σου (δεῖνα) τὸν ἐν ἀσθενείᾳ κατακείμενον καὶ τὸ ἔλεός σου ἐπικαλούμενον, Κύριε, ἐλέησον, οἴκτειρον καὶ μὴ παρίδῃς αὐτόν· ἀνάστησον καὶ διαφύλαξον ἀπὸ παντὸς κακοῦ· ὁ τὸν δικαιότατον καὶ θαυμαστὸν Δανιὴλ τὸν προφήτην ἐκ τῆς φοβερᾶς ὀργῆς τῶν λεόντων διαφυλάξας ὁ τὸν Ἱερεμίαν τοῦ ζοφεροῦ λάκκου ἀφαρπάσας ὁ τοὺς τρεῖς παῖδας Ἀνανίαν, Ἀζαρίαν καὶ Μισαὴλ ἐκ τῆς ἐπικαύστου καὶ φοβερᾶς τῆς καμίνου φλογὸς ρυσάμενος καὶ τὸ πῦρ εἰς δρόσον μεταβαλών· αὐτὸς καὶ τὸν δοῦλόν σου (δεῖνα) τῆς συνεχούσης ὀδύνης ἀπάλλαξον· ὁ τοῦ τυφλοῦ τὰ ὄμματα φωτίσας ὁ τὸν λεπρὸν ἰάσας αὐτὸς ἀνάστησον, ζωοποίησον καὶ τὸν δοῦλόν σου (δεῖνα) καὶ μὴ ἀποδώσῃς αὐτῷ κατὰ τὰς ἁμαρτίας αὐτοῦ φιλάνθρωπε Κύριε· ὁ τὸν παράλυτον δι' ἑνὸς μόνου λόγου στηρίξας· ὁ τὴν αἱμορροοῦσαν ἰασάμενος· ὁ τὸν δαιμονιζόμενον θεραπεύσας, ἐκδιώξας τὸ δαιμόνιον Λεγεών· αὐτός, Δέσποτα φιλάνθρωπε, πάρεσο, δυσωπήθητι καὶ εὐσπλαχνίσθητι, ὡς ἐλεήμων καὶ μακρόθυμος καὶ μὴ κατατάξῃς αὐτὸν εἰς τοὺς ἀδοξοῦντας. Ἅγιοι τρεῖς παῖδες, οἱ τὸ πῦρ τῆς καμίνου σβέσαντες καὶ Ἅγιοι ἑπτὰ παῖδες οἱ ἐν Ἐφέσῳ ἐκ νεκρῶν ἀναστάντες, βοηθήσατε τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα)· Ἅγιοι ἐννέα μάρτυρες οἱ ἐν Κυζίκῳ θαυματουργοῦντες, βοηθήσατε τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα). Ἅγιοι δέκα μάρτυρες οἱ ἐν τῇ Κρήτῃ τελει-

ωθέντες, βοηθήσατε τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα). Ἅγιοι τεσσαράκοντα μάρ-
τυρες οἱ ἐν Σεβαστείᾳ τῇ λίμνῃ μαρτυρήσαντες, βοηθήσατε τὸν δοῦλον τοῦ Θεοῦ
(δεῖνα). Ἅγιοι τριακόσιοι δέκα καὶ ὀκτὼ θεοφόροι πατέρες οἱ ἐν Νικαίᾳ τῇ
πόλει θαυματουργοῦντες, βοηθήσατε τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα). Ἅγιοι μύριοι
ἄνδρες, οἱ ἐν θείῳ λόγῳ τελειωθέντες, βοηθήσατε τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα).
Ἅγιε Θεράπων ὁ ἐν Σμύρνῃ, βοήθησον τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα). Ἅγιε Λαμ-
ψάκου Παρθένιε, βοήθησον τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα). Ἅγιε ἐν Τριπόλει βο-
ήθησον τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα). Ἅγιε ἐν Θεσσαλονίκῃ Δημήτριε βοήθησον
τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα). Ἅγιοι Ἀνάργυροι Κοσμᾶ καὶ Δαμιανέ, Κῦρε καὶ
Ἰωάννη, Παντελεήμων, Ἑρμόλαε, Σαμψὼν καὶ Διόμηδες, Μώκιε καὶ Ἀνίκητε,
Θαλαλαῖε καὶ Τρύφων, βοηθήσατε τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα). Ἅγιοι οἱ ἐν Ἐ-
δέσσῃ τῇ πόλει ὁμολογηναί, Γουρία καὶ Σαμωνᾶ καὶ Ἄβυδε, οἱ τὴν κόρην ἀφαρ-
πάσαντες καὶ πρὸς τὴν πατρίδα ἀναγαγόντες, βοηθήσατε τὸν δοῦλον τοῦ Θεοῦ
(δεῖνα). Ἅγιε Ἀκίνδυνε πρόφθασον καὶ βοήθησον τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα).
Ἅγιε Ἐλπιδοφόρε, ἀνάστησον τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα)· καὶ βοήθησον αὐ-
τόν· Ἅγιε Ἀνεμπόδιστε. μὴ παρίδῃς. ἀλλὰ βοήθησον τὸν δοῦλον τοῦ Θεοῦ
(δεῖνα). Ἅγιε ἐν Σινᾷ τῷ ὄρει Ἀγαπητέ, βοήθησον τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα).
Ἅγιε Ἀνδόνικε σὺν τῇ Ἀθανασίᾳ βοηθήσατε τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα).
Ἅγιε ὁ ἐν τῇ Πάτμῳ Ἰωάννη Θεολόγε, βοήθησον τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα).
Ἅγιε ὁ ἐν Ρώμῃ Πέτρε, βοήθησον τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα). Ἅγιε ὁ ἐν
τῇ Δαμασκῷ Παῦλε, βοήθησον τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα). Ἅγιε Ἀνδρέα
καὶ οἱ ἕτεροι δώδεκα καὶ ἑβδομήκοντα Ἀπόστολοι προφθάσατε καὶ βοηθήσατε
τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα). Ἅγιοι τέσσαρες εὐαγγελισταὶ Ματθαῖε, Ἰωάννη,
Λουκᾶ καὶ Μάρκε προφθάσατε καὶ βοηθήσατε τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα).
Ἅγιοι τέσσαρες μάρτυρες οἱ ἐν Ρεθύμνῃ μαρτυρήσαντες, βοηθήσατε τὸν δοῦλον
τοῦ Θεοῦ (δεῖνα). Ἅγιε ἐν Μύροις Μέγα Νικόλαε, βοήθησον τὸν δοῦλον τοῦ
Θεοῦ (δεῖνα). Ἅγιε ἐν Καισαρείᾳ τῇ πόλει οὐρανοφάντορ Βασίλειε, βοήθησον
τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα). Ἅγιε καὶ θαυματουργὲ Γρηγόριε ὁ τῆς μεγάλης
Ἀρμενίας, βοήθησον τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα). Ἅγιε ἐν τῇ Κύπρῳ Ἐπι-
φάνιε πρόφθασον καὶ βοήθησον τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα). Ἅγιε Ἰωάννη
Χρυσόστομε, ἐπισκίασον καὶ βοήθησον τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα). Ἅγιε Σπυρί-
δων, Τριμυθοῦντος, πρόφθασον καὶ βοήθησον τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα). Ἅγιοι
θεῖοι ὅσιοι Λούκιε, Φιλήμων καὶ Καλλίνικε προφθάσατε καὶ βοηθήσατε· Ἅγιοι
μάρτυρες Εὐστάθιε καὶ Ἀγαθόνικε βοηθήσατε· Ἅγιοι Μηνᾶ, Βίκτωρ καὶ Βι-
κέντιε, βοηθήσατε. Ἅγιε Ἱερομάρτυς τοῦ Χριστοῦ Χαράλαμπε, πρόφθασον
καὶ βοήθησον· Ἅγιοι Ὅσιοι Ἀντώνιε, Εὐθύμιε, Σάββα ἡγιασμένε, Ὀνούφριε,
Ἀρτέμιε, Καθηγηταὶ τῆς Ἐρήμου, προφθάσατε καὶ βοηθήσατε· Ἅγιοι Στέφανε,
Εὐστράτιε, Αὐξέντιε, Εὐγένιε, Μαρδάριε, Ὀρέστα, προφθάσατε καὶ βοηθήσατε.
Ἅγιοι ὅσιοι καὶ θαυματουργοί, Τίτε καὶ Νικήτα, προφθάσατε καὶ βοηθήσατε.
Ἅγιε προφῆτα Ἱερεμία βοήθησον.

Ἅγιοι Ἀθανάσιε καὶ Κύριλλε, Πατριάρχαι Ἀλεξανδρείας, βοηθήσατε· Ἅγιε Ἰακὼβ, βοήθησον· Ἅγιοι Ἰγνάτιε καὶ Μακάριε, βοηθήσατε· Ἅγιοι Γεδεὼν καὶ Βενιαμίν, βοηθήσατε· Ἅγιοι Γεράσιμε καὶ Βενέδικτε, βοηθήσατε· Ἅγιοι Ἀμβρόσιε καὶ Θεόφιλε, βοηθήσατε· Ἅγιε Ἀνδρέα Κρήτης, βοήθησον· Ἅγιοι Γερμανὲ καὶ Μεθόδιε, βοηθήσατε· Ἅγιοι Σωφρόνιε καὶ Φιλόθεε, βοηθήσατε· Ἅγιοι Εὐσέβιε καὶ Πορφύριε, βοηθήσατε· Ἅγιοι Μητρόφανες καὶ Μαρτυμιανέ, βοηθήσατε· Ἅγιοι Μελέτιε καὶ Νικηφόρε, βοηθήσατε· Ἅγιοι Ἀγάπιε καὶ Ἐπιφάνιε, βοηθήσατε. Ἅγιοι Βαρνάβα, Ἀδελφόθεε καὶ Ἰάκωβε, βοηθήσατε· Ἅγιοι Βλάσιε καὶ Κλήμη, βοηθήσατε· Ἅγιοι Φιλήμων καὶ Φιλάρετε, βοηθήσατε· Ἅγιοι τρισχίλιοι καὶ ἑξακόσιοι, βοηθήσατε· Ἅγιοι Διονύσιε καὶ Νεόφυτε, βοηθήσατε· Ἅγιοι Ἐλευθέριε καὶ Πατρίκιε, βοηθήσατε· Ἅγιοι Μάξιμε καὶ Γερόντιε, προφθάσατε καὶ βοηθήσατε· Ἅγιοι Κωνσταντῖνε σὺν τῇ μητρὶ τῇ Ἑλένῃ, βοηθήσατε·



Ἁγία Ἀναστασία φαρμοκολύτρια, βοήθησον· Ἁγία Μεγαλομάρτυς Βαρβάρα, βοήθησον· Ἁγία ἀθλοφόρε Μαρίνα, βοήθησον· Ἁγία πρωτομάρτυς Θέκλα καὶ Ἁγία Θεοφανὼ ἐν Κωνσταντινουπόλει, βοηθήσατε· Ἁγία Εἰρήνη καὶ Ἁγία Κυριακὴ βοηθήσατε· Ἁγία ἐν Σινᾷ τῷ Ὄρει Αἰκατερίνη βοήθησον· Ἁγία Μαρία καὶ Μάρθα ἀδελφαὶ τοῦ Λαζάρου, βοηθήσατε· Ἅγιε Ἰωάννη προφῆτα καὶ πρόδρομε καὶ βαπτιστὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, βοήθησον· Ἅγιοι πατέρες, ἀσπόστολοι, προφῆται καὶ μάρτυρες, ὅσιοι καὶ δίκαιοι, προφθάσατε καὶ βοηθήσατε τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα).

Πᾶσαι αἱ οὐράνιαι Δυνάμεις τῶν ἁγίων ἀγγέλων, ἀρχαί, ἐξουσίαι, τὰ πολυόμματα Χερουβὶμ καὶ τὰ ἑξαπτέρυγα Σεραφίμ· αἱ ἀκατάλυτοι δυνάμεις τοῦ Τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προσπέσατε καὶ δυσωπήσατε τὸν μόνον ὑπεράγαθον Θεὸν ἡμῶν ὅπως δῷ τὴν ἴασιν τῷ δούλῳ τοῦ Θεοῦ (δεῖνα), καὶ ἢ ἀπ᾽ οὐρανοῦ ἐξῆλθεν ἡ ἀσθένεια αὐτοῦ, ἢ ἀπ᾽ ἀστέρων, ἢ ἀπὸ ζοφερᾶς νεφέλης, ἢ ἀπὸ ἀστραπῆς, ἢ ἀπὸ σεισμοῦ, ἢ ἀπὸ συμπτώματος, ἢ ἀπὸ ὀρνέων, ἢ ἀπὸ κοιλάδων, ἢ φάραγγος, ἢ κλιτύος, ἢ βουνοῦ, ἢ πεδιάδος, ἢ λαγγάδος, ἢ λίθου, ἢ ὕδατος, ἢ ἀγροῦ, ἢ κήπου, ἢ διόδου, (διστράτου) ἢ τριόδου (τριστάτου), ἢ ἔνδοθεν, ἢ ἔξωθεν, ἢ ἀπ᾽ αὐλῆς, ἢ φούρνου, ἢ τροχάλου, ἢ θύρας, ἢ θυρίδος, ἢ ἀνωγαίου, ἢ κατωγαίου, ἢ ἅλωνος καὶ ἦλθε πειρᾶσαι τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα), ἢ ἀπὸ φθονερῶν μάγων δι᾽ ἔριν φθόνου καὶ καταλαλιᾶς, ἢ ἀπὸ φθορέων ἐχθρῶν, ἢ ἀπὸ ὀφθαλμὸν βασκανίας, ἢ ἀπὸ πάσης ἄλλης συμφορᾶς ἐξαφνικὰ ἐπερχομένης, οἷον πρίξιμον, καρδιόπονος, κεφαλόπονος, κουτσάγρα, ἢ ἀπὸ δαιμονίων φανταστικῶν, ἢ πνευμάτων ἀκαθάρτων ἐν τοῖς ὄρεσι κατοικούντων, ἢ Νεραΐδων, ἢ ἀπὸ ἐναερίων τελωνίων, ἐλθόντων ἀδικῆσαι τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα), ἢ κεφαλόπονος ἔσειν ἡ νόσος, ἢ ὀδοντόπονος, ἢ δυσουρία, ἢ ζωχάδες, ἢ στροφάντερος, ἢ ἁρμόπονος, ἢ τσίμπημα, ἢ ἀϋπνία, ἢ πολυϋπνία, ἐξορκίζω ὑμᾶς κακοποιὰ δαιμόνια, ὅπου καὶ ἂν εἶσθε κατακείμενα, καὶ ἀδικεῖται τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα), ἵνα ἀναχωρήσητε καὶ ἀπέλθητε εἰς τὰ ἄγρια ὄρη, εἰς τὰ ἄκρα τῶν κρημνῶν, εἰς γῆν ἄνυδρον, ἔρημον καὶ ἀγεώργητον, ὅπου ἄνθρωπος οὐκ᾽ ἔστιν, εἴτε εἰς τάς τρίχας τοῦ πάσχοντος τούτου εὑρίσκεσθε, εἴτε εἰς τὸν νοῦν του, εἴτε εἰς τὸ κρανίον, εἴτε εἰς τὸ μέτωπον, εἴτε εἰς τὰς μήνιγγας αὐτοῦ, εἴτε εἰς τὰ βλέφαρα, εἴτε εἰς τὰς φρένας, ἢ εἰς τὴν ρῖνα, ἢ εἰς τὴν ράχιν, ἢ εἰς τοὺς ὤμους, ἢ εἰς τὰς πλάτας, ἢ εἰς τὸ στῆθος, ἢ εἰς τοὺς πνεύμονας, ἢ εἰς τὴν καρδίαν, ἢ εἰς τὸ στόμα, ἢ εἰς τοὺς ὀδόντας, ἢ εἰς τὸν τράχηλον, ἢ εἰς τὸν ὀμφαλόν, ἢ εἰς τὸ ὑπογαστρίον, ἢ εἰς τὰ γόνατα καὶ πόδας, ἢ εἰς τοὺς ἀστραγάλους καὶ ὄνυχας, ἢ εἰς ἁρμόν, ἢ ὅπου ἄλλου τοῦ σώματός του. Ἐξορκίζω ὑμᾶς εἰς τὰ ἄχραντα πάθη τοῦ μεγάλου ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐξορκίζω ὑμᾶς εἰς τὴν Δέσποιναν Μαρίαν Θεοτόκον. Ἐξορκίζω ὑμᾶς εἰς ἅπαντας τοὺς ἁγίους προφήτας καὶ ἀποστόλους, μάρτυρας καὶ ὁσίους. Ἐξορκίζω ὑμᾶς εἰς τὸν κρεμάσαντα τὴν γῆν ἐπὶ τῶν ὑδάτων καὶ τὸν θεμελιώσαντα τοὺς οὐρανούς. Ἐξορκίζω ὑμᾶς εἰς τὸν θρόνον τοῦ Θεοῦ τὸν φοβερόν. Ἐξορκίζω ὑμᾶς εἰς τὰ Χεροοβὶμ καὶ Σεραφίμ. Ἐξορκίζω ὑμᾶς εἰς τὰς μακαρίας δυνάμεις τῶν ἀΰλων ταγμάτων. Ἐξορκίζω ὑμᾶς εἰς τοὺς τέσσαρας Ἀρχαγγέλους Μιχαήλ, Γαβριήλ, Οὐρουὴλ καὶ Ραφαήλ. Ἐξορκίζω ὑμᾶς τοὺς 24 πρεσβυτέρους τοὺς λειτουργοῦντας τὸν θρόνον τοῦ Θεοῦ. Ἐξορκίζω ὑμᾶς εἰς τοὺς 12 Ἀποστόλους, ἵνα ἐξέλθητε καὶ ἀναχωρήσητε, πάντα τὰ ἀκάρθατα πάθη καὶ πάντα τὰ πονηρὰ πνεύματα, ἀπὸ τὸν δοῦλον τοῦ Θεοῦ (δεῖνα)· καὶ δός, Κύριε αὐτῷ ὑγείαν, ζωήν, εἰρήνην καὶ μακροημέρευσιν, ἵνα δοξασθῇ τὸ πανάγιον ὄνομά Σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος Ἀμήν.

ΤΕΛΟΣ ΚΑΙ ΤΩ ΘΕΩ, ΔΟΞΑ.